

01 Δεκεμβρίου 2026
† Ναοὺμ τοῦ προφήτου
(700 π.Χ.). Φιλαρέτου τοῦ ἐλεήμονος (†792),
Θεοκλήτου ἀρχιεπ. Λακεδαιμονίας.
Ἦχος Δι




Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.






Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

## Ἀπολυτίκιον
## τοῦ Τιμίου Προδρόμου
## Ἦχος β΄

**Μ**νήμη δικαίου μετ᾽ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

**Δ**όξα... (Τὸ ὡς ἄνω)




κη ρυτ το με νον ο θεν της α λη θει ας
υ περ α θλη σας χαι αι αι αι ρων ευ ηγ γε
λι σω και τοις εν Α δη Θε ον φα νε ρω
θεν τα εν σαρ κι τον αι ρον τα την α
μαρ τι αν του κο σμου και πα ρε χον τα η
μιν το με γα ε ε ε λε ος


**Κ**αὶ νῦν... *Θεοτοκίον*

*Τῇ Τρίτῃ πρωΐ.*

*Εἰς τό, Θεὸς Κύριος, Ἦχος β΄.*


**Θ**είας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε· Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας· διὸ κατὰ χρέος σε πάντες, εὐσεβῶς Θεοτόκε μεγαλύνομεν.

Ἦχος Δι



## Τρίτη πρωΐ.
## Ἦχος α΄.
## Μετὰ τὴν α΄ Στιχολογίαν
## Καθίσματα Κατανυκτικά


Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, ἀλλὰ θαρρῶν εἰς τὴν φιλανθρωπίαν σου, κράζω, ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.




Στιχ. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Εἰ ὁ δίκαιος μόλις σῴζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐκ ἐβάστασα· τοῖς περὶ


τὴν ἑνδεκάτην ὥραν, συναρίθμησόν με, ὁ Θεός, καὶ σῶσόν με.




## Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ἄῤῥηκτον τεῖχος κεκτημένοι πιστοί, τὴν Θεοτόκον Μαρίαν, δεῦτε προσπέσωμεν αὐτῇ· παῤῥησίαν γὰρ ἔχει πρὸς τὸν τεχθέντα ἐξ αὐτῆς, τοῦ πρεσβεύειν καὶ σῴζειν ἀπὸ ὀργῆς, καὶ θανάτου τὰς ψυχὰς ἡμῶν.




στοι την Θε ο το ο κον Μα ρι ι ι αν δευ
τε προ σπε σω μεν Αυ τη παρ ρη σι ι αν γαρ
ε ε χει προς τον τε χθεν τα εξ Αυ της του
πρε σβε ευ ειν και σω ω ζειν α πο ορ γης και θα
να του τας ψυ χα ας η η μων

Μετὰ τὴν β΄ Στιχολογίαν

Ἕτερα Καθίσματα

Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ

Ἀγκάλας πατρικάς, διανοῖξαί μοι σπεῦσον· ἀσώτως τὸν ἐμόν, κατηνάλωσα βίον· εἰς πλοῦτον ἀδαπάνητον, ἀφορῶν των οἰκτιρμῶν σου Σωτήρ, νῦν πτωχεύουσαν, μὴ ὑπερίδῃς καρδίαν· σοὶ γάρ,Κύριε, ἐν κατανύξει κραυγάζω· Ἥμαρτόν σοι σῶσόν με.

Στιχ. Ἐπίβλεψον ἐπ΄ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Τὸ βῆμά σου φρικτόν, καὶ ἡ κρίσις δικαία, τὰ ἔργα μου δεινά, ἀλλ᾽ αὐτὸς Ἐλεῆμον, προφθάσας με διάσωσον, καὶ κολάσεως λύτρωσαι· ῥῦσαι Δέσποτα, τῆς τῶν ἐρίφων μερίδος, καὶ ἀξίωσον, ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Ἀπόθου, ὦ ψυχή, ῥαθυμίας τὸν ὕπνον, καὶ ἄναψον φαιδράν, μετανοίας λαμπάδα, καὶ ἔξελθε νῦν χαίρουσα, τῆς τοῦ βίου συγχύσεως, εἰς ἀπάντησιν τοῦ ἀθανάτου Νυμφίου. Δέξαι, λέγουσα, καὶ μὴ ἀπώσῃ με, Λόγε, λιταῖς τῆς τεκούσης σε.

Μετὰ τὴν γ΄ Στιχολογίαν

Καθίσματα ἕτερα

Ἦχος α΄

Τὸν τάφον σου Σωτῆρ

Ὁ πάλαι ταῖς ῥοαῖς, Ἰορδάνου βαπτίσας, τὴν κάθαρσιν παντός, Ἰωάννη τοῦ κόσμου, πολλοῖς με βυθιζόμενον, πλημμελήμασιν ἔλκυσον, καὶ ἀπόπλυνον, ἀπὸ παντοίας κηλῖδος, τὸν φιλάνθρωπον, διὰ παντὸς ἱκετεύων, ὡς πρέσβυς εὐπρόσδεκτος.

Μαρτυρικὸν

Τοῦ λίθου σφραγισθέντος

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὡς καλοὶ στρατιῶται ὁμοφρόνως πιστεύσαντες, τὰς ἀπειλὰς τῶν τυράννων μὴ πτοούμενοι, Ἅγιοι, προσήλθετε προθύμως τῷ Χριστῷ, ἀράμενοι τὸν τίμιον Σταυρόν, καὶ τελέσαντες τὸν δρόμον, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξασθε. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ δι΄ ὑμῶν, πᾶσιν ἰάματα.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὸν τάφον σου Σωτῆρ

Νηδὺϊ μητρικῇ, Ἰωάννης σκιρτήσας, φερόμενον Ἁγνή, τὸν Θεὸν ἐν γαστρί σου, ἐπέγνω θείᾳ χάριτι, καὶ πιστῶς προσεκύνησεν, ἀλλὰ δέομαι, σὺν τῷ Προδρόμῳ, Παρθένε, καθικέτευσον, ὃν ἐσωμάτωσας Λόγον, σωθῆναι, τὸν δοῦλόν σου.

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Κανὼν Κατανυκτικὸς

### Ὠδὴ α΄

### Ἦχος α΄.

### Ὁ Εἱρμός.

**Ὡ**δὴν ἐπινίκιον, ᾄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ ὅτι δεδόξασται.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

**Δ**ουλούμενος πάθεσι, τῆς ἁμαρτίας, προσπίπτω σοι Κύριε, ὅπως ἀποδείξῃς με, τούτων ἐλεύθερον, δοξάζοντά σου ἐκτενῶς, τὴν ἀγαθότητα.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

**Ἐ**πλήγην ὁ ἄθλιος, τῆς ἁμαρτίας, ῥομφαίᾳ καὶ τέθνηκα, καὶ ὁρῶν με κείμενον, ἐχθρὸς ἀγάλλεται, ὁ ἀναστήσας τοὺς νεκρούς, ζώωσον, σῶσόν με.

### Θεοτοκίον

Στίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

**Ὡ**ς θρόνος πυρίμορφος, φέρεις τὸν κτίστην, ὡς ἔμψυχος θάλαμος, καὶ τερπνὸν παλάτιον, τὸν βασιλέα χωρεῖς, γενόμενον ὅπερ ἐσμέν, δίχα τροπῆς καὶ φυρμοῦ.

Ἕτερος κανὼν τοῦ Προδρόμου,
Ὠδὴ α΄
Ἦχος α΄
Ὠδὴν ἐπινίκιον

Στίχ. Βαπτιστά του Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φωνὴ ἐχρημάτισας, τοῦ Λόγου, Μάκαρ· διὸ τὰς φωνὰς ἡμῶν, ἃς πρὸς σὲ ποιούμεθα, προσδέχου Πρόδρομε, ἐλευθερῶν ἡμᾶς κακῶν, τῇ μεσιτείᾳ σου.

Στίχ. Βαπτιστά του Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ὄρθρος ὡς ἥλιος, ἐξανατείλας, φωτίζεις τὰ πέρατα, καὶ σκοτίζεις πνεύματα, τὰ πονηρότατα· διὸ τὸν ζόφον τῆς ἐμῆς, ψυχῆς ἀπέλασον.

Στίχ. Βαπτιστά του Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νεκροῖς τὴν ζωὴν ἡμῶν, ἐλευσομένην, ἐκήρυξας Πρόδρομε· διὸ καὶ τὰ νεκροῦντα με πάθη θανάτωσον, δεῖξον θείας κοινωνόν, Μάκαρ λαμπρότητος.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ μόνη τὸν ἄχρονον, Υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία Δέσποινα, πάντα τὰ χρόνια, τῆς παναθλίας μου ψυχῆς, πάθη θεράπευσον.

Ὁ κανὼν τοῦ Προφήτου
Ὠδὴ α΄. Ἦχος πλ. α΄ Ἵππον καὶ ἀναβάτην...

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ναοὺμ τὸ θεῖον λῆμμα, τῆς διανοίας σου, τῆς ἐνθέως ληφθείσης, ὑπὸ Θεοῦ θεόληπτε, καὶ τούτου τῇ χάριτι, λαμπομένης βλέποντες, μακαρίζομέν σε Πανάριστε.

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἄνωθεν ἐνηχοῦσα, Προφῆτά σου τῇ ψυχῇ, ἡ τοῦ Πνεύματος χάρις, προφητικὴν ἐνέργειαν, ἀξίως ἐνέπνευσε, καὶ θεόπνουν γλῶσσάν σοι, κατεσκεύασεν ἀξιάγαστε.

Δόξα...

Ὄργανον ἀνεδείχθης, ἀνακρουόμενον, τῷ τοῦ Πνεύματος πλήκτρῳ, τὸν ζηλωτὴν Θεὸν ἀνυμνῶν, καὶ πᾶσι φθεγγόμενον, τῆς ἐνθέου κρίσεως, το ἀδέκαστον Παναοίδιμε.

Καὶ νῦν... Θεοτοκίον

Ὑπερευλογημένη, Παρθένε πάναγνε, τοὺς σὲ πίστει καὶ πόθῳ, οἷα Θεοῦ Μητέρα σεπτήν, ὑμνοῦντας διάσωσον, τῶν κινδύνων λύουσα, τὴν ἀτίθασον ἀγριότητα.

## Κανὼν Κατανυκτικὸς, Ὠδὴ γ΄
## Ἦχος α΄. Ὁ Εἱρμὸς

Λίθον ὃν ἀπεδοκίμασαν, οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη, εἰς κεφαλὴν γωνίας, αὐτός ἐστιν ἡ πέτρα, ἐν ᾗ ἐστερέωσε, τὴν Ἐκκλησίαν ὁ Χριστός, ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἴδε τὴν ἐμὴν ἀσθένειαν, ὁ φορέσας ταύτην, ἴδε τῆς ψυχῆς μου, τὴν δεινὴν ἀμορφίαν, πρόσχες τῇ φωνῇ μου, Χριστὲ πολυέλεε, καὶ μεταποίησον αὐτῆς, τὸ εἰδεχθές, εἰς εὐμορφίαν Σωτήρ.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σῶσον Ἰησοῦ τὸν ἄσωτον, σῶσόν με τὸν μόνον, σοῦ τοὺς σωτηρίους, παραβάντα νόμους, καὶ πᾶσαν ἁμαρτίαν, ἀλόγως τελέσαντα, καὶ ὑπαχθέντα λογισμοῖς, σοῦ Ἀγαθὲ ἀλλοτριοῦσί με.

### Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τίκτεις, ὃν Πατὴρ ἐγέννησε, πάντων πρὸ αἰώνων, τρέφεις τὸν τροφέα, πεῖραν ἀνδρὸς μὴ γνοῦσα. Παράδοξον τὸ θαῦμα! καινὸν τὸ μυστήριον, θεοχαρίτωτε! διὸ πᾶσα πιστῶν ψυχὴ δοξάζει σε.

## Κανὼν τοῦ Προδρόμου, Ὠδὴ γ΄
## Ἦχος α΄
## Λίθον ὃν ἀπεδοκίμασαν

Στίχ. **Β**απτιστά του Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Σ**τείρας ἐξ ἀκάρπου Πρόδρομε, ἱερῶς βλαστήσας, ὤφθης καρποφόρος, γεωργίαις θείαις· διό μου τὴν καρδίαν, παντοίων στειρεύουσαν, εὔτεκνον ποίησον καλῶν, ὅπως πιστῶς ἀεὶ δοξάζω σε.

Στίχ. **Β**απτιστά του Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ἄ**ρτῳ οὐρανίῳ στήριξον, τὴν ἐμὴν καρδίαν, Μάκαρ, παρειμένην, ταῖς πονηραῖς μελέταις, καὶ δίδου μοι προθύμως, ποιεῖν τὰ θελήματα, τοῦ πανοικτίρμονος Θεοῦ, ὅπως πιστῶς ἀεὶ δοξάζω σε.

Στίχ. **Β**απτιστά του Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Κ**όσμου ἁμαρτίαν αἴροντα, τὸν Ἀμνὸν κηρύξας, τῶν ἁμαρτιῶν μου, τὸ βαρὺ φορτίον, μακάριε Προφῆτα, ἐλάφρυνον δέομαι, κατάνυξίν μοι χορηγῶν, ῥύπου παθῶν ἀποκαθαίρουσαν.

## Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλον τὸν Ἀδὰμ ἐφόρεσεν, ἐκ σοῦ Θεοτόκε, ὅλος σαρκοφόρος, προελθὼν ὁ Λόγος. Αὐτὸν οὖν, Θεοτόκε, δυσώπει με ῥύσασθαι, ἐκ πειρασμῶν παντοδαπῶν, καὶ τοῦ πυρός τοῦ αἰωνίζοντος.

Ὁ κανὼν τοῦ Προφήτου
Ὠδὴ γ΄
Ἦχος πλ. α΄.
Ὁ πήξας ἐπ΄ οὐδενὸς

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Μεθέξει θεοποιοῦ τε καὶ θείου Πνεύματος, τὴν ψυχὴν ἐγένου φωτοειδέστατος· ὅθεν καὶ τὰ πόρρω φανερῶς, πᾶσι προκαταγγέλλειν, ἐκ θειοτέρας ἐπιπνεύσεως, σὺ προεχειρίσθης θεόπνευστε. (Δὶς)

Δόξα...

Τὸ κρῖμα τῆς κατὰ τῶν ἐχθρῶν ἐκδικήσεως, προεώρας Μάκαρ θεοπτικώτατα, τῶν καταφρονούντων δυσσεβῶς, θείας μακροθυμίας, καὶ ἀνοχῆς τε καὶ χρηστότητος, ἐξ ἀθεραπεύτου κακότητος.


Καὶ νῦν... Θεοτοκίον

Ὁ πάλαι ἐξ οὐδενὸς ποιήσας τὰ σύμπαντα, ἐκ τῆς σῆς ἁγίας γαστρὸς προέρχεται, ἄνθρωπος γενόμενος Ἀγνή, ὑπὸ φιλανθρωπίας, διαφερόντως ὁ Φιλάνθρωπος, ἵνα τούς ἀνθρώπους λυτρώσηται.

Ὠδὴ γ΄, τοῦ Μηναίου
Ἦχος πλ. α΄
Ὁ Εἱρμὸς .

**Ὁ** πήξας ἐπ΄ οὐδενὸς τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρήσας ἀσχέτως βρίθουσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστέ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Ἦχος λπ̈ Πα



## Κάθισμα Ἦχος πλ. α΄
## Τὸν συνάναρχον Λόγον

Ἀμιγῆ χαρακτήρων τῶν κάτω ἔνδοξε, σὺ τὸν νοῦν κεκτημένος, τοῦ θείου Πνεύματος, καθαρώτατον Ναοὺμ δοχεῖον γέγονας, τὰς ἐλλάμψεις τὰς αὐτοῦ, εἰσδεχόμενος λαμπρῶς, καὶ πᾶσι διαπορθμεύων· διό σε ἐκδυσωποῦμεν, ὑπὲρ εἰρήνης τοῦ κόσμου πρέσβευε.


## Δόξα... Καὶ νῦν... Θεοτοκίον


Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος τρόπος ὁ τῆς κυήσεως, ἐν σοὶ ἐγνώρισται Ἁγνὴ ἀειπάρθενε, καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

## Ὠδὴ στ΄, τοῦ Μηναίου
## Ἦχος πλ. α΄. Ὁ Εἱρμὸς

Μαινομένην κλύδωνι, ψυχοφθόρῳ Δέσποτα Χριστέ, τῶν παθῶν τὴν θάλασσαν κατεύνασον, καὶ ἐκ φθορᾶς, ἀνάγαγέ με ὡς εὔσπλαγχνος.

## Ὠδὴ ς΄ Ὁ Εἱρμὸς
## Ἦχος λ̈π̈ϑ̈ Πα




ρω Δεσποτα Χριστε των παθων την θα λασ
σαν κα τευ νασον και εκ φθορας α να γα γε ε
με ως ευ σπλαγχνο ο ο ος

## Κοντάκιον

### Τῇ Τρίτῃ, τοῦ Προδρόμου

**Π**ροφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σήν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν, ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

## Συναξάριον

**Τ**ῇ Α΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Προφήτου Ναούμ.

## Στίχοι

Ναούμ, τὸν Ἑλκεσαῖον ἐκπεπνευκότα,
Ἕλκει πόθος με σμυρνίσαι σμύρνῃ λόγου.
Πρώτῃ ἐκ βιότοιο Δεκεμβρίου ᾤχετο Ναούμ.

**Τ**ῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Φιλαρέτου τοῦ Ἐλεήμονος.

## Στίχοι

Θνήσκει ὁ πᾶσαν ἀρετὴν φερωνύμως,
Πάτερ φιλήσας, τόν γε μὴν οἶκτον πλέον.

**Τ**ῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου μάρτυρος Ἀνανίου τοῦ Πέρσου.

## Στίχοι

Ἀνανίας σάρξ, πρὸς δὲ σαρκὸς αἰκίας,
Αἴσθησιν ὡς σάρξ οὐδὲ μικρὰν λαμβάνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου Ἀντωνίου τοῦ νέου.

Ὁ Ἅγιος Ὀνήσιμος, ὁ ἀρχιεπίσκοπος Ἐφέσου, ἐν εἰρήνῃ τελειοῦται.


Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.


## Ὠδὴ η΄, τοῦ Προφήτου
## Ἦχος πλ. α΄
## Ὁ Εἱρμὸς

**Στίχ.** Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

**Σ**οὶ τῷ Παντουργῷ, ἐν τῇ καμίνῳ Παῖδες, παγκόσμιον πλέξαντες, χορείαν ἔμελπον. Πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἦχος λ̈ πα






Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς...

Ἦχος λ̱ π̱ ϊ̈ Πα

Σπ/χος α΄ κ

Με γα λυ νει η ψυ χη μου τον

Κυ ρι ον και η γαλ λι α σε το πνευ μα

μου ε πι τω Θε ω ω τω σω τη ρι μου

Τ την Τι μι ω τε ραν των Χε ρου βειμ γ΄ η και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φειμ την α δι α φθο ρως Θε ον Λο γον τε κου


σαν την ον τως Θε ο το κον Σε ε με γα λυ

νο ο μεν

Σπ/χος β΄ κ

Ο τι ε πε βλε ψεν ε πι την


τα πει νω σιν της δου λης αυ του ι δου γαρ


α πο του νυν μα κα ρι ου σι με πα α


σαι αι γε νε αι


Τ ην Τι μι ω τε ραν των Χε ρου βειμ η΄ και



εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα


φειμ την α δι α φθο ρως Θε ον Λο γον τε κου


σαν την ον τως Θε ο το κον Σε ε με γα λυ


νο ο μεν


Σπίχος γ΄


Ο τι ε ποι η σε μοι με γα


λει α ο Δυ να τος και α γι ον το


ο νο μα αυ του και το ε λε ος αυ


του εις γε νε αν και γε νε αν τοις φο βου με


ε νοις αυ τον
την Τι μι ω τε ραν των Χε ρου βειμ η΄ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φειμ την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον Σε ε με γα λυ
νο ο μεν
Σπίχος δ΄
ποι η σε κρα τος εν βρα χι
ο νι αυ του δι ε σκορ πι σεν υ πε ρη
φα νους δι α νοι α καρ δι ας αυ των
την Τι μι ω τε ραν των Χε ρου βειμ η΄ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα


φειμ ϗ την α δι α φθο ρως Θε ον Λο γον τε κου



σαν ϗ την ον τως Θε ο το κον Σε ε με γα λυ


νο ο μεν ϗ


Σπίχος ε΄


ϗ Κα θει λε δυ να στας α πο θρο



νων και υ ψω σε τα πει νους ϗ πει νων τας ε


νε πλη σεν α γα θων ϗ και πλου τουν τας ε ξα



πε στει λε κε νους ϗ


ϗ Τ ην Τι μι ω τε ραν των Χε ρου βειμ ιη΄ και


εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα


φειμ ϗ την α δι α φθο ρως Θε ον Λο γον τε κου



σαν ϗ την ον τως Θε ο το κον Σε ε με γα λυ


νο ο μεν
Σπίχος στ΄
Ἄν τε λα βε το Ισ ρα ηλ παι
δος αυ του μνη σθη ναι ε λε ους κα θως ε
λα λη σε προς τους πα τε ρας η μων τω
Α βρα α αμ και τω σπερ μα τι αυ του
ε ως αι ω νος
Τ ην Τι μι ω τε ραν των Χε ρου βειμ ιη και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φειμ την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον Σε ε με γα λυ
νο ο μεν


## Ὠδὴ θ΄, τοῦ Προφήτου
## Ἦχος πλ. α΄
## Ὁ Εἱρμὸς

Ἦχος λ π ϑ Κ ε

**Ἠ**σαΐα χόρευε, ἡ Παρθένος ἔσχεν ἐν γαστρί, καὶ ἔτεκεν υἱὸν τὸν Ἐμμανουήλ, Θεόν τε καὶ ἄνθρωπον, Ἀνατολὴ ὄνομα αὐτῷ· ὃν μεγαλύνοντες, τὴν Παρθένον μακαρίζομεν».



Ἦχος λ π q Κε χ


χ q Ἄ ξι ον ε στιν ως α λη θως ν΄ η μα κα ρι
ι ζει ειν σε την Θε ο το ο κον χ q την α ει μα
κα ρι στον και πα να μω μη τον ν΄ η και μη
τε ρα του Θε ου η μων χ q την τι μι ω
τε ραν των Χε ρου βιμ ν΄ η και εν δο ξο τε ραν
α συγ κρι ι τως των Σε ρα φιμ χ q την α δι
α φθο ρως Θε ον Λο γον τε κου σαν χ q την ον
τως Θε ο το κον σε ε με γα λυ νο με ε ε ε
εν
χ q

# ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

## Τῇ Τρίτῃ:

## Ἦχος γ΄.

### Ὁ οὐρανὸν τοῖς ἄστροις

**Τ**ὸν Πρόδρομον Ἰωάννην , καὶ Βαπτιστὴν τοῦ Σωτῆρος, τὸν ἐν Προφήταις Προφήτην, καὶ τῆς ἐρήμου τὸ θρέμμα, τῆς Ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες.

### Θεοτοκίον Ὅμοιον

**Ὁ** γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε μῆτερ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

## Α Ι Ν Ο Ι
## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

**Ε**ὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

**Κ**ύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

**Σ**οὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

**Π**ληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

**Κ**ύριε ἐλέησον.

**Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

**Κ**ύριε ἐλέησον.

**Τ**ὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

**Π**αράσχου Κύριε.

**Ἄ**γγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

**Π**αράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας.....

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.


Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.

## ΑΠΟΣΤΙΧΑ ΤΩΝ ΑΙΝΩΝ

### Κατανυκτικὰ


Ἄλλος σε κόσμος, ψυχή, ἀναμένει καὶ Κριτής, τὰ σὰ μέλλων δημοσιεύειν κρυπτὰ καὶ δεινά· μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε, ἀλλὰ πρόφθασον βοῶσα τῷ Κριτῇ, ὁ Θεός ἱλάσθητί μοι, καὶ σῶσόν με.




Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ᾽ὧν ἡμερῶν ἐταπείνωσας

ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.


**Μ**ὴ ἀποδοκιμάσῃς με Σωτήρ μου, τῇ ῥαθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον, διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν, καὶ τοῦ σοῦ ἀμπελῶνος ἐργάτην δόκιμον ἀνάδειξόν με, δωρούμενός μοι τῆς ἑνδεκάτης ὥρας τὸν μισθόν, καὶ τὸ μέγα ἔλεος.




## Μαρτυρικὸν

**Στίχ.** **Κ**αὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

**Ο**ὗτοι οἱ Στρατιῶται τοῦ Βασιλέως τοῦ μεγάλου, ἀντέστησαν τοῖς δόγμασι τῶν τυράννων, γενναίως κατεφρόνησαν τῶν βασάνων, καὶ τὴν πλάνην πᾶσαν πατήσαντες, ἀξίως στεφανωθέντες, αἰτοῦνται παρὰ τοῦ Σωτῆρος εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.






Δόξα... Καὶ νῦν... Θεοτοκίον

Πανεύφημοι μάρτυρες

Παρθένε πανύμνητε Μωσῆς, τὸ ἐν σοὶ μυστήριον, προφητικοῖς εἶδεν ὄμμασι, βάτον τὴν ἄφλεκτον, εἴπερ καιομένην· πῦρ γὰρ τῆς Θεότητος, τὴν μήτραν σου, Ἁγνή, οὐ κατέφλεξε. Διὸ αἰτοῦμέν σε, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.


Δόξα... Καὶ νῦν ...


Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

## Ἀπολυτίκιον
## τοῦ Τιμίου Προδρόμου. Ἦχος β΄

**Μ**νήμη δικαίου μετ᾽ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.




υ περ α θλη σας χαι αι αι αι ρων ευ ηγ γε
λι σω και τοις εν Α δη Θε ον φα νε ρω
θεν τα εν σαρ κι τον αι ρον τα την α
μαρ τι αν του κο σμου και πα ρε χον τα η
μιν το με γα ε ε ε λε ος


# Δόξα... Καὶ νῦν ...

## Τῇ Τρίτῃ πρωΐ

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος β΄.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες· Χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις, τῆς δόξης τὸν Κύριον.

Ἦχος Δι



## Εἰς τὴν Θείαν Λειτουργίαν

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

### Ἦχος πλ. δ΄ Νη

1. Κυ ρι ε ε λε ε η σον
2. Κυ ρι ε ε λε ε ε η σον
3. Κυ ρι ε ε λε ε ε η σον
4. Κυ ρι ε ε λε ε ε η σον
5. Κυ ρι ε ε λε ε ε η σον
6. Κυ ρι ε ε λε ε ε ε η σον

### ΕΤΕΡΑ


1. Κυ ρι ε ε λε ε ε η η σον
2. Κυ ρι ε ε ε λε ε ε η η σον
3. Κυ ρι ε ε λε η η σον

4. 
Κυ ρι ε ε ε λε η σο ο ον

5. 
Κυ ρι ε ε λε ε η σον

6. 
Κυ ρι ε ε λε ε ε η σον

7. 
Κυ ρι ε ε λε η σον

8. 
Κυ ρι ε ε λε η σον

9. 
Κυ ρι ε ε λε η σον

10. 
Κυ ρι ε ε λε ε η σον

11. 
Κυ ρι ε ε λε ε ε η σον


12. 
Ϲοι Κυ ρι ε


Ἀντίφωνο Α΄

Ἦχος Δι





Σπχ. α΄















Σπχ. β΄












τερ σω σον η μας


Σπχ. γ΄


Ο τι ευ φρα νας με Κυ ρι ε
εν τοις ποι η μα σι σου και εν τοις ερ
γοις των χει ρων σου α γαλ λι α σο μαι



Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

Σπχ. δ΄


Ο τι ευ θυς Κυ ρι ος ο Θε
ος η μων και ουκ ε στιν α δι κι α
εν αυ τω



Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας


## Δόξα Πατρὶ...Καὶ νῦν...





Ἀντίφωνο Β΄

Ἦχος Δι




Σπχ. β΄
Καιγαρεστερεωσεταν
οιουμενηητιςουσαλευθησε
ται
Πρεσβειαιςτωναγιωνσουσωσονη
μαςΚυριε
Σπχ. γ΄
Θαυμαστοιοιμετεωρι
σμοιτηςθαλασσηςθαυμαστοςενυψη
λοιςοΚυριος
Πρεσβειαιςτωναγιωνσουσωσονη
μαςΚυριε
Σπχ. δ΄
Ταμαρτυριασουεπι


στω θη σαν σφο δρα τω οι κω σου πρε πει


α γι α σμα Κυ ρι ε εις μα κρο τη


τα η με ρων


Πρε σβει αις των α γι ων σου σω σον η



μας Κυ ρι ε


Δο ξα Πα τρι και Υι ω και Α γι



ω Πνευ μα τι


Και νυν και α ει και εις τους αι ω νας



των αι αι ω νων Α μην



Ο μο νο γε νης Υι ος και Λο γος


του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα ας

Ἀντίφωνο Γ΄
Ἦχος Δι







Σπχ. γ΄ Ὁ τι Θε ος με γας Κυ ρι ος
και βα σι λευς με γας ε πι πα σαν την
γην

Σω σον η μα ας Υι ε Θε ου ο εν



## Εἰσοδικό




## Ἀπολυτίκιον
### τοῦ Τιμίου Προδρόμου. Ἦχος β΄

**Μ**νήμη δικαίου μετ᾽ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.







*Ἀπολυτίκιον τοῦ Ναοῦ.*

## Κοντάκιον

### Τῇ Τρίτῃ, τοῦ Προδρόμου

### Ἦχος β΄ Τὰ ἄνω ζητῶν

**Π**ροφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σήν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν, ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.



# ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
# ΤΡΙΤΗ ΚΖ΄, ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρὺς

**Ε**ὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. **Ε**ἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

**Π**ρὸς Τιμόθεον Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 5:11-21

**Τ**έκνον Τιμόθεε, νεωτέρας χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας, οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. Βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν. Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ. Εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ. Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ· λέγει γὰρ ἡ γραφή· βοῦν ἀλοῶντα οὐ φιμώσεις· καὶ· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. Κατὰ

πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι. Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς, χωρὶς προκρίματος μηδὲν ποιῶν κατὰ πρόσκλησιν.

Ἀλληλούϊα. (γ΄) Ἦχος β΄


Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.


Ἦχος λ̈ ϖ̈ Πα


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε λε η σον
Δ μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σω
Ἕτερον.
Κυ ρι ε ε ε ε ε
α α μην


**Π**άτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
**ἁ**γιασθήτω τὸ ὄνομά σου,
**ἐ**λθέτω ἡ βασιλεία σου,
**γ**ενηθήτω τὸ θέλημά σου,
**ὡ**ς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
**Τ**ὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
**κ**αὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
**ὡ**ς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
**κ**αὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
**ἀ**λλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.


ΘΙC ΑΓΙΟC

Ἦχος λ̱ π̈ϥ Πα Ἐναρμόνιος




Ἦχος γ΄τος



Θι ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος λ π ϙ Πα
Ἄ α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει καιτα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρω ω ω πο ο ο ος

Χριστέ το φῶς τό ἀληθινόν.


Ἦχος λ π ϙ Πα





η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η τρος και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην

## Τῇ Τρίτῃ (τοῦ Προδρόμου)

### Ἦχος δ΄ Νη




### Ἦχος πλ. α΄



# 01-12-2026 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΗΧΟΣ Δ΄


## Τῇ Τρίτῃ (τοῦ Προδρόμου)


Εἰς Μνημόσυνον...

Κωνσταντίνου Πρίγγου

Ἄρχοντος Πρωτοψάλτου τ.Μ.τ.Χ.Ε.

῾Ηχος Πα ΄Εκτασις.




ω ω ω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω ω αι ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω
ω νι ι ι ι ι ι αι ω ω ω ω ω ω
ω νι ι ι ο ον ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε σται δι ι ι ι και
αι αι ο ο ο ο ο ος Αλ λη λου ου ου
ου ι ι ι α α α α α α α α
α

Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι


Θι δο μεν το φως το α λη θι νον ε λα
βο με εν Πνευ μα ε που ρα α νι ον εν ρο μεν
πι στιν α λη θη α δι αι ρε τον Τρι
α δα προ σκυ νου ου ου ουν τες αυ τη γαρ
η η μας ζ΄ εσωσε ε ε ε ε εν

Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…


Ἦχος Δι

Ἀ μην α μην α μην εις α
φε σιν α μαρ τι ων και εις ζω ην την
αι ω ω νι ον


Πλη ρω θη τω το στο μα η μων


αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α


Εἴη τό ὄνομα...




Τόν Εὐλογούντα...






Ἦχος Βαρύς Ζω
Πα να γι ι α Δε
ε σποι να υ πο τη ν σκε ε πη ν σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα
α κα λου ου μεν σε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


Π Z Π
πα α κου σον τ̣ων πα ρα α κα λου ουν των σε
Z M
ε ε ε ε ε ε ε ε ε

Θεοτοκία εἰς ἦχον Βαρύν
Μή καταπιστεύσεις με


Ἦχος Βαρύς Ζω




μυ θι ι ι αν ουκ εχω πλη ην σου Δε ε
σποι να του κο ο ο σμου ελ πις και προ στα
σι ι α των πι στων μη μου πα ρι ι δης
την δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

## Μεταβολή τῶν θλιβομένων

### Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.